*Καπανεὺς προσῆγε λόχον ἐπ᾽ Ἠλέκτραις πύλαις·*
*σιδηρονώτοις δ᾽ ἀσπίδος τύποις ἐπῆν*
*γίγας ἐπ᾽ ὤμοις γηγενὴς ὅλην πόλιν*
*φέρων μοχλοῖσιν ἐξανασπάσας βάθρων,*
*ὑπόνοιαν ἡμῖν οἷα πείσεται πόλις.*
*ταῖς δ᾽ ἑβδόμαις Ἄδραστος ἐν πύλαισιν ἦν,*
*ἑκατὸν ἐχίδναις ἀσπίδ᾽ ἐκπληροῦν γραφῇ*
*ὕδρας ἔχων λαιοῖσιν ἐν βραχίοσιν*
*Ἀργεῖον αὔχημ᾽· ἐκ δὲ τειχέων μέσων*
*δράκοντες ἔφερον τέκνα Καδμείων γνάθοις.*
*παρῆν δ᾽ ἑκάστου τῶνδέ μοι θεάματα*
*ξύνθημα παραφέροντι ποιμέσιν λόχων.*
*καὶ πρῶτα μὲν τόξοισι καὶ μεσαγκύλοις*
*ἐμαρνάμεσθα σφενδόναις θ᾽ ἑκηβόλοις*
*πετρῶν τ᾽ ἀραγμοῖς· ὡς δ᾽ ἐνικῶμεν μάχῃ,*
*ἔκλαγξε Τυδεὺς χὠ σὸς ἐξαίφνης γόνος·*
*ὦ τέκνα Δαναῶν, πρὶν κατεξάνθαι βολαῖς,*
*τί μέλλετ᾽ ἄρδην πάντες ἐμπίπτειν πύλαις,*
*γυμνῆτες ἱππῆς ἁρμάτων τ᾽ ἐπιστάται;*
*ἠχῆς δ᾽ ὅπως ἤκουσαν, οὔτις ἀργὸς ἦν·*
*πολλοὶ δ᾽ ἔπιπτον κρᾶτας αἱματούμενοι,*
*ἡμῶν τ᾽ ἐς οὖδας εἶδες ἂν πρὸ τειχέων*
*πυκνοὺς κυβιστητῆρας ἐκπεπνευκότας·*
*ξηρὰν δ᾽ ἔδευον γαῖαν αἵματος ῥοαῖς.*
*ὁ δ᾽ Ἀρκάς, οὐκ Ἀργεῖος, Ἀταλάντης γόνος*
*τυφὼς πύλαισιν ὥς τις ἐμπεσὼν βοᾷ*
*πῦρ καὶ δικέλλας, ὡς κατασκάψων πόλιν·*
*ἀλλ᾽ ἔσχε μαργῶντ᾽ αὐτὸν ἐναλίου θεοῦ*
*Περικλύμενος παῖς λᾶαν ἐμβαλὼν κάρᾳ*
*ἁμαξοπληθῆ, γεῖσ᾽ ἐπάλξεων ἄπο·*
*ξανθὸν δὲ κρᾶτα διεπάλυνε καὶ ῥαφὰς*
*ἔρρηξεν ὀστέων, ἄρτι δ᾽ οἰνωπὸν γένυν*
*καθημάτωσεν· οὐδ᾽ ἀποίσεται βίον*

---

1132. *βίᾳ γρ. βάθρων* A *βίᾳ* ceteri. 1135. *ἐκπληροῦν*] Geelius, *ἐκπληρῶν* libri. 1140. *παρφέροντι* C 1144. *καὶ ὁ σός* A *ὁ σὸς δ᾽* F *καὶ σός* ceteri. 1155. *δίκελλαν* EC 1158. om. A